## Περὶ Ὑπερθετικῶν.

Τὰ δὲ Ὑπερθετικὰ, πρὸς ἃ ἔχει τὴν ὑπέρθεσιν γενικὴν ἀεὶ ἀπαιτεῖ πληθυντικοῦ, πρὸς ὁμοφυεῖς, ἢ συγγενεῖς ἀεὶ φερόμενον· οἷον. Σωκράτης Ἑλλήνων σοφώτατος· καὶ προθετοπτώτως· οἷον· Ἐγὼ δὲ ἐξ ἁπασῶν ἡ καλλίςη ἔδοξα (Θουκ. Δωρ. Γαλάτ.). Καὶ, σοφώτατος ἐν διδασκάλοις. Ἐὰν δὲ ἐπιστρεπτικῶς πρὸς τὸ αὐτὸ πρόσωπον γένηται ἡ ὑπέρθεσις, καὶ πρὸς γενικὴν ἑνικοῦ· οἷον· εἴθε σοὶ, ὦ Περίκλεις, τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτ' ἦσθα.

Σημείωσαι δὲ ὅτι τὸ ἄριστα ἑαυτοῦ διαλεχθῆναι τινὰ καὶ τὰ τοιαῦτα, λέγεται μὲν, οὐ φέρεται δὲ ἡ παράθεσις πρὸς τὸ πρόσωπον, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις· ὡς ἂν εἰ λέγει τις ἄριστα τῶν ἄλλων ἑαυτοῦ διαλέξεων· καὶ ὅλως ἄλλ' ἄττα ἀεὶ τῶν περὶ τὸ πρόσωπον δεῖ θεωρεῖν ἐν τῇ πρὸς ἑνικὸν τοῦ ὑπερθετικοῦ συντάξει· ἐν τούτοις γὰρ τὸ ὑπερθετικόν.

Τῶν δὲ ἐπιτατικῶν μορίων οὐδὲν δέχονται τὰ Ὑπερθετικὰ, ὅτι μὴ εἰς δεῖξιν ὑπερβολῆς· οἷον· Ὅπως ὅτι ἀπαρασκευαστότατον λάβοι βασιλέα (Ξενοφ. Κύρ. ἀνάβασ. Α. ά. 6.). Τὸν δὲ τὸν τρόπον προστίθεται καὶ τὸ, πολλῷ, μακρῷ, καὶ τὰ τοιαῦτα· οἷον· Πολλῷ ἀσθενέστατον (Ἡρόδοτ. ἐν Κλειοῖ. ρμ'. λ'.). Μακρῷ ἀρίστη (Ἡρόδοτ. αὐτόθι ρμγ'.).

Ἔνια δὲ τῶν ὀνομάτων ἀπολύτως λεγόμενα κατὰ τὰ Ὑπερθετικὰ συντάσσονται, ἐν ἑαυτοῖς φύσει πως ἔχοντα τὴν ὑπεροχὴν· οἷον· Δῖα θεῶν, Μόνος ἁπάντων, καὶ ἐξ ἁπάντων, Ἔξοχος, Κορυφαῖος, καὶ τὰ τοιαῦτα.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΗΣ ΑΝΤΩΝΥΜΙΑΣ.

## Περὶ Πρωτοτύπου.

Ταῖς μὲν δὴ Πρωτοτύποις Ἀντωνυμίαις χρώμεθα πλείονος δείξεως ἕνεκα καὶ διαστολῆς ἑτέρων πολλάκις, καὶ μάλιστα μετὰ συνδέσμων· οἷον· Σὺ μὲν ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων (Δημοσθ. περὶ Στεφάνου.). Τοῦ δὲ τρίτου προσώπου, καὶ ἐν διαλόγοις· οἷον· Ἦ δ' ὅς ὁ Γλαύκων (Πλάτ. ἐν πολιτικοῖς.). Ἐὰν δὲ προστεθῇ καὶ τοὔνομα ταῖς πρωτοτύποις ἀντωνυμίαις, ἐνάρθρως λέγεται· οἷον· σὺ μὲν ὁ Σωκράτης διδάσκεις, ἐγὼ δὲ ὁ Πλάτων ἀκούω.

Σημ. Ἐν τοῖς διαλόγοις τὸ ἀποκρινόμενον πρόσωπον πολλάκις χρῆται τῷ Ἐγὼ διὰ τοῦ Γὲ, χωρὶς ῥήματος· οἷον· βούλει σμικρόν τί μοι χαρίσασθαι; Πολ. Ἔγωγε. (Πλάτ. Γοργ. 36). Ἀλλὰ ἀντὶ τοῦ ἐπιῤῥήματος Μάλιστα, καὶ Ναὶ, κεῖται.

Ταῖς δέ γε τριτοπροσωπούσαις καὶ κατ' ἀντιμετάβασιν, ἤτοι κατ' ἐπιστροφὴν τῆς ἐνεργείας εἰς τὸ αὐτὸ πρόσωπον, ἔστι χρῆσθαι· οἷον· ὑπερεφοβεῖτο μή οἱ ὁ πάππος ἀποθάνῃ (Ξενοφ. Κύρ. παιδ. Α. δ'. 2.). Ἀπεκρίνατο αὐτῷ ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν, ἃ προκαλεῖται (Θουκυδ. ξυγγρ. Β'. οβ'.). Τὸν Περικλέα ἐν αἰτίᾳ εἶχον, ὡς πείσαντα σφᾶς πολεμεῖν (Θουκ. ξυγγρ. Β'· νθ'.).

## Περὶ Κτητικῶν.

Τῶν δὲ Κτητικῶν ἡ σύνταξις ἡ αὐτὴ τοῖς ἐπιθέτοις ὀνόμασιν, ἐπίθετα οὐσῶν ἀντωνυμικά· οἷον· ὁ ἐμὸς οἶκος, ὁ οἶκος ὁ ἐμός· ἡ ἐμὴ οἰκία, ἡ οἰκία ἡ ἐμή· τὸ ἐμὸν οἴκημα, τὸ οἴκημα τὸ ἐμόν· οἷς ἣν δέῃ ἐπιφέρειν καὶ ἑτέραν πτῶσιν, γενικὴ ἔσται, ὁμοιάριθμος τῷ κτήτορι· οἷον· Σόν ἐστιν, ὦ Σώκρατες, καὶ τοῦτο γνῶναι τοῦ πάν-

τα τὰ δίκαια ἐν ἡμῖν εἰδότος. (Πλάτ. ἐν Γοργ.) Καὶ μετὰ ἀντωνυμίας, ἤτοι μόνης· οἷον· Ἄπιτε ἐπὶ τὰ ἡμέτερα αὐτῶν (Ἡρόδ. Ἐρατ. νιζ΄.). ἢ μετὰ ὀνόματος· οἷον· Τὸν ἐμὸν αὐτοῦ τοῦ ταλαιπώρου βίον (Ἀριςοφ. Πλοῦτ. 34.).

Σημείωσαι δὲ, ὅτι αἱ γενικαὶ τῶν Πρωτοτύπων, καὶ αἱ Κτητικαὶ Ἀντωνυμίαι ἰσοδυναμοῦσιν ἀλλήλαις, καὶ ἀδιαφόρως ἑκάτεραι ἐν τῷ λόγῳ τίθενται· ταὐτὸν γὰρ εἰπεῖν· ὁ ἐμὸς πατὴρ, καὶ ὁ πατήρ μου. ὁ σὸς υἱὸς, καὶ ὁ υἱός σου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΙΩΑΝΝΗΣ ΠΕΤΣΙΟΣ

## Περὶ Δεικτικῶν.

Τῶν δὲ Δεικτικῶν Ἀντωνυμιῶν χρώμεθα τῇ μὲν Οὗτος ἐπὶ προσεχοῦς καὶ παρούσης πως δείξεως· οἷον· Οὗτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης (Ψαλμ. κγ΄. 10.)· τῇ δὲ Ἐκεῖνος, ἐπὶ πόῤῥω· οἷον· Πόλεις ἐκεῖναι εἰσὶν (Λουκ. Χάρ. ἢ Ἐπισκοπ.). Καὶ κατὰ φήμην τινὰ ὑπεροχῆς· οἷον· Οὗτος ἐκεῖνος (Λουκιαν. Ἐνύπν.)· ὁ περίφημος δηλαδή.

Σημ. Ἐπὶ διηγήσεως τὰ μὲν προῤῥηθέντα διὰ τοῦ Ταῦτα ἐπαναλαμβάνονται, ὡς παρόντα· τὰ δὲ ἐφεξῆς λεχθησόμενα, ὡς μακρὰν, διὰ τοῦ Ἐκεῖνα· οἷον· Πλὴν ἀλλὰ ταῦτα μὴ ἐλπίσῃς· · · ἐκεῖνα δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ (Λουκιαν. Διάλογ. Διογ. καὶ Ἀλεξάνδρ.).

Καὶ ἐν ταῖς ἐπαναλήψεσι δὲ χρώμεθα ταῖς Δεικτικαῖς ἐν εἴδη ἀνακεφαλαιώσεως· οἷον· Τὸ δὲ προβουλεύειν, καὶ τὸ ἡγεῖσθαι, ἐφ᾽ ὅ τι ἂν καιρὸς δοκεῖ, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ (Ξενο. Κύρ. Παιδ. Η. ζ΄. 9.).

Καὶ ἐν προαναφωνήσει δὲ ἢ προδηλώσει τοῦ ἑπομένου ἡ Δεικτικὴ οὐδετέρως χώραν ἔχει· οἷον· Οὐκοῦν τοῦτο θαυμάζω, εἰ μὴ συνίεσαν Ἀχαιοὶ (Λουκιαν. Μένιπ. Ἑρμ.). Σὺ δέ μοι ἐκεῖνο εἰπέ (Λουκ. Χάρ. ἢ Ἐπισκοπ.).

Καὶ ἀνταποδοτικῶς δὲ χρώμεθα ταῖς Δεικτικαῖς, ἡγουμένης ἐνάρθρου μετοχῆς, ἢ ἀναφορικοῦ τινος· οἷον· Ὁ ταῦτα πράττων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ (Δημοσθ. Φιλιπ. Γ΄.). Οἷς

Ε.Α. τ.Φ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μὲν ἂν ἔξω τὸ ἔργον ᾖ, τούτους συνεκπέμπειν· οἷς δ' ἂν ἔργον ἔνδον, τούτων ἐπιστατέον (Ξενοφ. Οἰκον. ζ'. 35.). Ὅσα ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα ἐκπονεῖν ἱκανῶς ἐδοκίμαζε (Ξενοφ. Ἀπομν. Α'. β'. 4.)· Ὁπόσοι ὄντες ἱκανοί, τούτους ἐπεζήτει (Ξενοφ. Κύρ. Παιδ. Η'. α'. 6.). Ὅς (Λυκοῦργος), ἐπειδὴ κατέμαθεν, —— ἐκεῖνος ἐν τῇ Σπάρτῃ ἠνάγκασε κ. τ. λ. (Ξενοφ. Πολ. Λακαιδ.).

Σημ. α'. Ἐὰν μετὰ τὴν Δεικτικὴν ἕπηται πευστικὸν ὄνομα, ἢ ἐπίθετον ἄναρθρον, ἢ καὶ προηγῆται, τότε ὁ λόγος συμπεριέχει καὶ τὴν ἀναφορὰν καὶ τὴν ἀνταπόδοσιν· καὶ δυσὶ κοινότερον ἀναλύεται λόγοις· οἷον· Τίνας ἐκείνους ὁ Κροῖσος ἐκπέμπει; (Λουκ. Χάρ. ἢ ἐπισκοπ.) Ἀντὶ τοῦ, τίνες εἰσὶν ἐκεῖνοι, οὓς ἐκπέμπει. Τοῦτο οὐδὲν θαυμαστὸν λέγεις (Πλάτ. Πρωταγ.). ἀντὶ τοῦ, οὐκ ἔστι θαυμαστὸν, ὃ λέγεις.

Σημ. β. Η Οὗτος καὶ ἡ ταὐτόσημος Ὅδε, τοπικῶν ἢ δεικτικῶν ἐπιῤῥημάτων ἐσθ' ὅτε χώραν ἐπέχουσιν· οἷον· ἠρόμην, ὅπου εἴη. Οὗτος, ἔφη, ὄπισθεν προσέρχεται (Πλάτ. Πολ. Α. εἰς τὴν ἀρχήν.). εἶτ' οὖν ἠρώτησα ποῦ ἐστιν, Ἰδού, ἢ ἐδῶ, ἔφη, ὄπισθεν ἔρχεται.

Σημ. γ. Καὶ ἀντὶ τοῦ, Πρῶτον μὲν, Δεύτερον δέ, τίθεται ἡ Δεικτικὴ εἰς γένος οὐδέτερον μετὰ τῶν συνδέσμων, Μέν, καὶ Δέ· οἷον· τοῦτο μὲν, τοῦτο δέ.

Σημ. δ. Ὁ αν ἔτι ἡ Δεικτικὴ ἀφῃρημένοις ὀνόμασι συντάσσηται, τότε αὕτη μὲν μεταβάλλεται εἰς γένος οὐδέτερον, τὸ δὲ ὄνομα εἰς γενικήν· οἷον· Καιροῦ μὲν δή, ὦ Ἄνδρες Ἀθηναῖοι, πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα (Δημοσθ. Ὀλυνθιακ. Β. 20) Ἐσθ' ὅτε δὲ κατὰ τὴν αὐτὴν ἔννοιαν μόνη τίθεται· οἷον· Τὰ δὲ πράγματα εἰς τοῦτο προήκοντα ὁρῶ, ὥστε, ὅπως μὴ πεισώμεθα αὐτοὶ πρότεροι κακῶς, σκέψασθαι δέον (Δημ. Ὀλυνθ. γ. 28.). Εἰς τὰς τοιαύτας φράσεις ἐπίτασιν ἡ Δεικτικὴ σημαίνει, καὶ ἰσοδυναμεῖ τῷ τοσοῦτος.

## Περὶ Ἀναφορικῶν.

### Τῆς Αὐτός.

Τῶν Ἀναφορικῶν τῇ Αὐτὸς χρώμεθα, ὅταν προειρημέν' ἄττα ἀναμνῆσαι βουλώμεθα, κατ' ἐπανάληψιν· οἷον· Πειράσομαι τῷ πάπ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΓΚΑΘΙΔΡΥΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ
Ε.Υ.Ζ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πῳ ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς, συμμαχεῖν αὐτῷ (Ξενοφ. Κύρ. παιδ. Α΄. γ΄. 15.). Ὑπῆρχε τῷ Κύρῳ, μᾶλλον αὐτὸν φιλοῦσα, ἢ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα Ἀρταξέρξην (Ξενοφ. Κύρ. Ἀνάβ. Α. ά. ϛ.): Ἥδομαι συνὼν τούτῳ, καὶ θεώμενος αὐτὸν (Ξενοφ. Κύρ. Παιδ. Β΄. β΄. 16.). Οὓς ἂν βούλει ποιήσασθαι φίλους, ἀγαθόν τι λέγε περὶ αὐτῶν (Ἰσοκρ. πρὸς Δημόν.).

Χρώμεθα δ' ἔτι τῇ Αὐτὸς, αὐτὸ τὸ ὑποκείμενον ἀντονομάζοντες. οἷον· Αὐτὸ τὸ καλὸν, αὐτὸ τὸ δίκαιον (Πλάτ. Πολιτ. Ε.). Εἰ ἡμῖν ἀφίκοιτο εἰς τὴν πόλιν αὐτός τε καὶ τὰ ποιήματα, βουλόμενος ἐπιδεῖξαι (Πλάτ. Πολιτ. γ΄.). Αὐτοῦ πρῶτον ἡδέως ἀκούσαιμ' ἂν Πλάτ. Λύσ.)·

Καὶ ἀντὶ τοῦ, Ἐγὼ, Σὺ, χρώμεθα τῇ Αὐτὸς· οἷον· Καὶ αὐτὸς ῥήτορά σε ὑπὲρ πάντας ἀποφανῶ, οἷος αὐτὸς εἰμί (Λουκιαν. Ῥητόρ. Διδάσκ.). Οὐκ εἰς μακρὰν καὶ αὐτὸς εἷς ἔσῃ τῶν πεπηλωμένων· (Λουκιαν. Ἀνάχαρσ. ἢ Γυμνοσοφ.).

Σημ. Α. Ἐνάρθρως καὶ ἐπὶ ταὐτότητος πολλάκις λαμβάνεται· οἷον· ὁ αὐτὸς ἀνὴρ ἐκέλευσε, τὸ αὐτὸ ποιεῖν. Τοῖς δὲ ἐποποιοῖς καὶ ἡ ἄναρθρος συγχωρεῖται χρῆσις.

Σημ. Β. Καὶ ἀντὶ τοῦ μόνος λαμβάνεται· οἷον· αὐτοὶ γὰρ ἐσμὲν (Πλάτ. Παρμεν. σελ. 93.). ἀντὶ μόνοι. Αὐτὰ τὰ πρὸ τῶν ποδῶν ὁρᾷν (Ξενοφ. Λακεδαιμ. Γ. 8.). ἤτοι μόνα.

Σημ. Γ. Καὶ συνθέτου δύναμιν ἐπέχει δασυνομένη, πλὴν τῆς ὀνομαστικῆς. Καὶ ἡ Γενικὴ μόνη ἀντὶ τοπικοῦ ἐπιρρήματος· οἷον· Τέλος δὲ ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ ἐτρέφετο (Ξενοφ. Κύρ. Παιδ. Α. 2. 1.).

## Τῆς Ὅς.

Ἡ δ' Ἀναφορικὴ Ὃς συντάσσεται κατὰ μὲν γένος καὶ ἀριθμὸν τῷ ἡγουμένῳ πτωτικῷ, πρὸς ὃ ἀναφέρεται· κατὰ δὲ πτῶσιν, τῷ ἑπομένῳ ῥήματι· οἷον· Τιμῶ Ὅμηρον, ὃς τοὺς Δαναοὺς ἐπαινεῖ.

Ἀττικῶς δὲ τριχῶς ἥκει εἰς χρῆσιν ἡ Ἀναφορικὴ Ὅς.

ά. Φέρεται οὐ πρὸς ὃ γένος ἀπαιτεῖ τὸ ἡγούμενον πτωτικὸν, ἀλλὰ πρὸς ὃ τὸ ἑπόμενον· οἷον· Πόλεις ἐκεῖναι εἰσὶν, οὓς φωλεοὺς εἶναι νομίζεις (Λουκ. Χάρ. ἢ Ἐπισκοπ.).

β΄. Οὐ πρὸς ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἐπαγόμενον ῥῆμα φέρεται, ἀλλὰ

ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ ΙΩΑΝΝΙΝΩΝ — Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

πρὸς ἣν τὸ ἡγούμενον, ἐὰν τὸ ἐπαγόμενον τῶν κατ' ἐκπομπὴν ᾖ· οἷον· Χρῶμαι, οἷς ἔχω βιβλίοις. Ἀπολαύω, ὧν ἔχω ἀγαθῶν. Ἡ πόλις ἡμῶν, ὧν ἔλαβεν, ἅπασι μετέδωκεν (Ἰσοκρ. Πανηγυρ.). Ἐμοὶ δοκεῖς σὺ οὐ πάνυ ἀκόλουθα λέγειν, οὐδὲ σύμφωνα, οἷς τὸ πρῶτον ἔλεγες (Πλάτ. Γοργ.).

γ΄. Τὸ φύσει ἡγούμενον τοῦ ἀναφορικοῦ ἐπιφερόμενον τὴν πτῶσιν μιμεῖται αὐτοῦ· οἷον· Εἴ τινα ὁρῴη κατασκευάζοντα, ἧς ἄρχοι χώρας (Ξενοφ. Κύρ. Ἀνάβ. Ά. θ΄. 19.). Εἰ ἣν ὑμεῖς ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσατε δύναμιν ὑμῖν προσγενέσθαι (Θουκ. ξυγγρ. Ά. λγ΄.).

Ἐὰν δ' ὁμοῦ προταχθῇ ἀρσενικὰ ἢ θηλυκὰ ἢ οὐδέτερα, τὸ ἀναφορικὸν τοῦ ἐπικρατεστέρου γένους ἔσται· οἷον· Μοῦσαι καὶ Ἀπόλλων, οἷς ἐγὼ σπένδομαι. Ἐὰν δὲ τὰ προταχθέντα σημαινόμενον ἔχῃ οὐδετέρου, οὐδέτερον ἔσται καὶ τὸ ἀναφορικόν· οἷον· Σελήνην καὶ ἀστέρας, ἃ σὺ ἐθεμελίωσας (Ψαλμ. Ή. δ΄.).

Σημ. ά. Ἔτι ἡ ἀναφορικὴ Ος, καὶ ἑνικῶς ἐπιφέρεται πληθυντικοῦ ἀριθμοῦ ὀνόματι, ἢ προηγεῖται, τῆς ἀναφορᾶς μὴ ἀτομικοῖς προσώποις ἢ πράγμασι γινομένης, ἀλλὰ γενικοῖς καὶ ἀορίστοις· οἷον· προσγελᾷ τε καὶ ἀσπάζεται πάντας, ᾧ ἂν περιτυγχάνῃ (Πλάτ. Πολιτ. ή. 230). Ἐσθ' ὅτε ἐν γενικαῖς τισι περιστάσεσιν, αἵτινες ὑπαρκτικὸν ἔχουσι ῥῆμα, εἰώθασι πολλάκις, ἀντὶ τοῦ δι' ἀπαρεμφάτου ἐκφράζειν τὸ ὑποκείμενον αὐτῶν, τῇ ἀναφορικῇ χρῆσθαι δι' ὁριστικῆς, εὐκτικῆς, ἢ ὑποτακτικῆς ἐγκλίσεως, κατὰ τὴν διάφορον τοῦ λόγου ἀκολουθίαν· οἷον· Σωφρόνων δὲ ἀνδρῶν, οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο· εἴτ' οὖν τὸ τὰ ἀγαθὰ θέσθαι ἀσφαλῶς (Θουκ. Δ. 18). Καὶ ἐγὼ νομίζω προστάτου ἔργον εἶναι, οἵου δεῖ, ὃς ἂν ὁρῶν τοὺς φίλους ἐξαπατωμένους μὴ ἐπιτρέπῃ· ἀντὶ τοῦ μὴ ἐπιτρέπειν (Ξενοφ. Ἑλλην. Ἱστορ. Β Γ 21)

Σημ. β. Συνεχῶς παραλείπεται τὸ πρὸς ὃ ἀναφέρεται ὄνομα, ἀόριστον ὄν, μένει δὲ τὸ ἀναφορικὸν εἰς τὴν κυρίως ἀλλοτρίαν αὐτοῦ πτῶσιν· οἷον μεμνημένος ὧν ἔπραξεν, ἀντὶ μεμνημένος τῶν πραγμάτων, ὧν ἔπραξε· καὶ τοῦτο ἀντὶ, ἃ ἔπραξεν

## Περὶ Συνθέτων, ἢ Αὐτοπαθῶν.

Τῇ δὲ Συνθέτῳ Ἀντωνυμίᾳ χρώμεθα τριχῶς.

α. Ἐπ' αὐτοπαθείας· ὅταν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ καὶ πάσχῃ· οἷον· Σῴζω ἐμαυτόν, σῴζεις σεαυτόν, σῴζει ἑαυτόν· καὶ πληθυ-

Εργ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοπτώτως· οἷον· αὐτὸς ἀφ' ἑαυτοῦ γελᾷ (Ξενοφ. Κύρ. Παιδ. δ'. 4.);

β'. Ἐπ' αὐτοπαθοῦς κτήσεως· ὅταν ἡ ἐνέργεια τοῦ κτήτορος πρὸς τὸ ἴδιον κτῆμα φέρηται, ἢ τοῦ κτήματος πρὸς τὸν κτήτορα· οἷον· Σώζω τὰ ἐμαυτοῦ· τὰ ἐμαυτοῦ ἐμὲ σώζει· ἔνθα ἔξεστι παραλαμβάνειν καὶ ὄνομα ἰσοδυναμοῦν· οἷον· τὸ οἰκεῖον, ἴδιον, ἢ τοιοῦτο τὶ ·οἷον· Σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει· τὸν ἴδιον παῖδα· καὶ μετὰ τῆς Συνθέτου ἐκ παραλλήλου· οἷον Ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ παῖδα. Φιλεῖ πᾶς τις οὖν τὸν ἴδιον ἑαυτοῦ υἱόν.

γ'. Κατὰ ἀντιμετάβασιν· ὅταν ἡ διάθεσις μεταβαίνουσα εἴς τι, ἐπιστρέφῃ πάλιν εἰς τὸ πρότερον· οἷον· Σωκράτης ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ ἐλπίζειν (Ξενοφ. Ἀπομν. Α. β'. 3.). Ὅταν ἴδωσι τοὺς ἀθλητὰς ἑαυτῶν ἕνεκα πονοῦντας (Ἰσοκρ. Πανηγ.). Ἀλλ' ὀκνῶ μὴ τὰ προσήκοντα περὶ σοῦ λέγων, αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω προῃρῆσθαι λόγους (Δημοσθ. περὶ Στεφάν.).

Ἐπὶ δὲ δυϊκοῦ καὶ πληθυντικοῦ ἀριθμοῦ μὴ ἔχοντες συνθέτους, τὰς Πρωτοτύποις μετὰ τῆς Αὐτὸς χρώμενοι, τὴν χρείαν πληροῦμεν· οἷον· Νῶϊ αὐτὼ· νῶϊν αὐτοῖν· ἡμῶν αὐτῶν, ἡμῖν αὐτοῖς, ἡμᾶς αὐτούς· καὶ τ λ.

Οὐμὴν ἀλλὰ καὶ τῇ Ἑαυτῶν, ἑαυτοῖς, ἑαυτοὺς, πληθυντικῶς χρώμεθα αὐτοπαθητικῶς κατὰ πάντων κοινῶς τῶν τριῶν προσώπων· οἷον· ἑαυτοὺς ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν· ἑαυτοῖς βοηθοῦμεν, βοηθεῖτε, βοηθοῦσιν· ἑαυτῶν ἀκούομεν, ἀκούετε, ἀκούουσιν.

## Περὶ τῆς Ἀλληλοπαθοῦς.

Τοῦ δὲ Ἀλλήλων ἡ σύνταξις κατ' ἀλληλοπάθειαν πᾶσι τοῖς προσώποις πληθυντικῶς γίνεται· οἷον· ἀλλήλους ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσι· καὶ κτητικῶς· οἷον· τὰ δ' ἀλλήλων ὁρῶσιν, ἅπερ ἐστὶ πιθήκων παιδία (Συνέσ. Ἐπιστ. Α.).

## Σημείωσις.

Ἡ τῆς Συνθέτου Ἀντωνυμίας καὶ ἡ τοῦ Ἀλλήλων σύνταξις πρὸς ἐνεργητικὸν γίνεται ῥῆμα· εὑρίσκεται δὲ καὶ πρὸς παθητικόν· οἷον· Δεινῶς ὑπ' ἀλλήλων διατεθέντες (Αἰσώπ. μῦθ. Λέων καὶ Ἄρκτ.). Οὕτω καταγέλαστα ὑφ' ἑαυτῆς πάσχουσα (Λουκ. Ἀνάχ. ἢ περὶ Γυμν.).

Σημ. Ἀλλ' ἀντὶ τῆς ἀλληλοπαθοῦς πολλάκις αἱ σύνθετοι τίθενται ἐπὶ τῆς αὐτῆς σημασίας· οἷον Παυσάμενοι τῆς πρὸς ἡμᾶς αὐτοὺς φιλονεικείας . . . πολεμήσωμεν (Ἰσοκρ. Πανηγ.). Τοὺς Ἕλληνας στασιαστικῶς πρὸς ἑαυτοὺς ἔχοντας (Δημοσθ. περὶ Στεφ.)· ἀντὶ, πρὸς ἀλλήλους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Π. ΚΟΝΔΥΛΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ Ἐρωτηματικῆς.

Αἱ Ἐρωτηματικαὶ ἀνάρθρως ἀεὶ λέγονται· οἷον· τίς βαδίζει; εἰ μὴ ἐν δευτέρᾳ ἐρωτήσει τοῦ εἰρημένου· τότε γὰρ ἐνάρθρως λέγονται· οἷον· τὰ ποῖα λέγεις; καὶ ὁ τίς ἐρωτᾷς; πλαγίως δὲ, γενικῇ διαιρετικῶς συντάσσονται· οἷον· Τίς τῶν πολεμησάντων αὐτοῖς οὐκ εὐδαιμονήσας ἀπῆλθεν; Πρὸς δὲ τὰ ῥήματα ὁριστικῇ συντάσσονται ἐγκλίσει· οἷον· Τίς βαδίζει; τίς διαλέγεται; καὶ εὐκτικῇ μετὰ τοῦ ἂν· οἷον· Τίς ἂν ἐφίκοιτο τοῦ κακοῦ (Βασίλ. κατὰ τῶν Ὀργιζ.);

Ὁπότε δὲ ὁ λόγος ἀπὸ ἐρωτηματικοῦ εἰς διαπορητικὸν μεταβάλλει· τότε πρὸς ὑποτακτικὴν γίνεται ἡ σύνταξις· οἷον· Τί χρήσομαι τῷ λόγῳ; οὐκ οἶδ' ὅ, τι χρήσωμαι τῷ λόγῳ (Γρηγόρ. Ναζιαν. εἰς Βασίλ.)! Τίνι συνεργῷ χρήσομαι; οὐκ ἔχω τίνι συνεργῷ χρήσωμαι (Γρηγόρ. Ναζιαν. περὶ φιλοπτ.)! Οὕτω καὶ Ἀνάγκη ἀπορεῖν, ὅν τινα καὶ ἱερόσυλον εἴπῃς (Λουκ. Ἑρμ. ἢ περὶ Αἱρέσ.)! Σπανίως δὲ καὶ πρὸς εὐκτικήν· οἷον· Οὐκ ἔχων ὅ, τι χρήσαιτο ἑαυτῷ (Λουκ. Σκύθ.).

Σημ. Ὅταν ἐπαπορητικῶς ἡ ἐρώτησις γίνεται, τότε προστίθεται αὐτῇ καὶ τὸ, Ποτὲ, Δήποτε, ἢ Ἆρα· οἷον· Τίς ἦν ποτε ἡ διάνοια τῶν τότε Ἀθηναίων (Δημοσθέν. κατὰ Φιλιπ. γ. 122.). Τιδήποτε, ὦ Μέλιτε, τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ τηλικούτου ὄντος, τηλικὸς δὲ ὢν (Πλάτ. Ἀπολ. Σωκρ. στ.). Τίς ἄρ' ἦν ὁ ταῦτα εἰπών.

Ε.Υ. ΠΗΚ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ Ἀορίστου.

Καὶ αἱ Ἀόριστοι δὲ οὐ συντάσσονται ἄρθροις· οἷον· ὅς τις, ὁποῖος, ὁπότερος, τὸ Τις ἐγκλινόμενον· τὸ δὲ Ἕτερον, καὶ Ἄλλο, καὶ ἀνάρθρως, ὥς περ καὶ τὸ Πᾶς ἐνίοτε, καὶ τὸ Δεῖνα ἀεί· Καὶ διαιρετικῶς πρὸς γενικὴν φέρονται· οἷον· Ὅς τις τῶν ἀνθρώπων. Καὶ μετὰ τῆς ἐξ· οἷον· Ὅς τις ἐξ ἁπάντων (Λουκ. Ἑρμ. ἢ περὶ Αἱρέσ.). Οὕτω καί, Ἕκαστον τῶν ζώων· Ἑκάτερος ἡμῶν· Καὶ τὸ μὲν ἕτερον τῶν δυοῖν τειχοῖν κατέβαλον (Θουκυδ. Ξυγγρ. Ζ΄. μδ΄.).

Σημ. Ὅταν ὁ λόγος γενικῶς πρὸς ἕκαστον ἀναφέρηται, τότε τὸ Τὶς ἰσοδυναμεῖ τῷ Ἕκαστος· οἷον· Λεγέτω οὖν τις περὶ αὐτοῦ τούτου, ἢ γινώσκει (Ξενοφ. Κυρ. Παιδ. στ. ά. 6.). Καὶ ὅταν ἔτι γενικὴ ᾖ ἡ ἔννοια αὐτῆς, καὶ πολλὰ ἐμπεριλαμβάνῃ ἄτομα, τότε δὴ αἱ εἰς αὐτὴν ἀναφερόμεναι λέξεις τίθενται πληθυντικῶς· οἷον· Εἰ γάρ τις ἀνήρ ἐστιν ἐν αὐτοῖς, οἷος ἔμπειρος πολέμου καὶ ἀγώνων, τούτους μὲν φιλοτιμίᾳ πάντας ἀπωθεῖν αὐτὸν ἔφη (Δημοσθ. Ὀλυνθ. Β. 23.). Καὶ ὑπεροχῆς δὲ ἔμφασιν σημαίνει· οἷον· Οὐ γὰρ ἐκεῖνο γ' ἂν εἴποις, ὡς σὲ μὲν ἐν τῇ πόλει δεῖ τινα φαίνεσθαι, τὴν πόλιν δ' ἐν τοῖς Ἕλλησι μηδενὸς ἀξίαν εἶναι (Δημοσθ. κατὰ Φιλίπ. Δ.). Μέγαν δηλαδή.

Τῶν δ' Ἀορίστων τούτων τὸ Ἕκαστος, Ἑκάτερος, Ἕτερος, Ἄλλος, λέγονται Ἐπιμεριζόμενα· τετραχῶς δὲ ταῦτα· εἷς ἐκ δύο, Ἕτερος· εἷς ἐκ πολλῶν, Ἄλλος· δύο καθ' ἕνα, Ἑκάτερος· πολλοὶ καθ' ἕνα, Ἕκαστος

Σημ. Τὸ Ἕτερος ἐνάρθρως μέν, εἷς ἐκ τῶν δύο σημαίνει· οἷον· Τῇ ἑτέρᾳ χειρί· ἀνάρθρως δὲ ταὐτοσήμως τῷ Ἄλλος, ἢ Διάφορος λαμβάνεται· διὰ τοῦτο γενικῇ συντάσσεται· οἷον· Ὁ φίλος ἕτερος ὢν τοῦ κόλακος.

Τὸ μὲν οὖν ἑκάτερος καὶ ἕκαστος καὶ πληθυντικοῖς συντάσσονται ῥήμασιν· οἷον· Εἷλκον μὲ πρὸς ἑαυτὴν ἑκατέρα μάλα βιαίως (Λουκ. Ἐνύπνιον.). Ἅμα μὲν γὰρ στερόμενοι, καὶ ἰδίᾳ ἕκαστος, καὶ ἡ πόλις ὁπλιτῶν ἐβαρύνοντο (Θουκ. Ξυγγρ. Η. ά.). Καὶ ἐὰν μὲν τὸ ῥῆμα ἑνικὸν ᾖ, τούτοις ἀκολουθεῖ κατὰ πρόσωπον· οἷον· Ἕκαστος ἡμῶν ἢ ὑμῶν γράφει· Ἐὰν δὲ πληθυντικόν, τῷ ἀθροίσματι, εἰ τύχοι· οἷον· Ἕκαστος ἡμῶν γράφομεν, ἕκαστος ὑμῶν γράφετε. Ἐὰν δὲ πληθυντικῶς

ταῦτα ἐκφέρονται, τότε τὸ πρόσωπον τοῦ ῥήματος ἀκολουθεῖ τούτοις· οἷον· Ἐν οἵῳ εἴδη ἑκάτεροι ἡμῶν τοῦτο ἔπραξαν (Θουκυδ. Ξυγγρ. Γ΄ Ἱ. α΄.).

## Περὶ Ἀναφορικοανταποδοτικῶν.

Αἱ δὲ Ἀναφορικοανταποδοτικαὶ ἡγοῦνται ἀλλήλων ἐν τῇ συντάξει καὶ ἐπιφέρονται· οἷον· Τοιοῦτος ἦν Θεμιστοκλῆς, οἷος ὁ Περικλῆς· καὶ, Οἷος ὁ Μιλτιάδης, τοιοῦτος ὁ Λεονίδας. Πολλάκις δὲ θάτερον ἐλλείπει· ἤτοι θαυμαστικῶς· οἷον· Τοιαύτην κεφαλὴν ποθῶ! Οἷα μ᾽ ἔδρασας! ἢ κατ᾽ ἀποσιώπησιν· οἷον· Συμφορῶν πεπείραται, οἵων οὐδείς. Καὶ ἄλλα ἤκουον τοιαῦτα· ἀντὶ Συμφορῶν πεπείραται τοιούτων, οἵων οὐδεὶς πεπείραται. Καὶ ἄλλα ἤκουον τοιαῦτα, οἷα καὶ ἄλλοτε ἤκουσα. Τοιοῦτο δὲ καὶ τὸ, Τιμῶ Ὅμηρον, ὃς τοὺς Δαναοὺς ἐπαινεῖ· ἀντὶ Ἐκεῖνον, ὅς.

Σημ. α΄. Τὰ κατὰ μέρος σημαινόμενα τοῦ Οἷος, ὅρα εἰς τὸ περὶ Μορίων.

Σημ. β. Ἀντὶ τοῦ τοιοῦτος ἐνίοτε τῇ Αὐτὸς ἐνάρθρως χρῶνται· οἷον· Οἵους ἂν ἐράνους εἰσενέγκῃς τοῖς γονεῦσι, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων (Διογέν. Λαέρτ.).

Σημ. γ. Η Τοιοῦτος ἐνάρθρως λαμβάνεται, εἰς προλεχθέντα ἢ γνωστὰ ἀναφερομένη· οἷον· Ἴσως ἂν ἴσως, ὦ Ἄνδρες Ἀθηναῖοι, τέλειόν τι καὶ μέγα κτήσαισθε ἀγαθὸν, καὶ τῶν τοιούτων λημμάτων ἀπαλλαγείητε (Δημοσθ. Ὀλυνθιακ. 3· 37.).

## Τοῦ Ἄρθρου.

Χρώμεθα τοῖς Ἄρθροις εἰς δήλωσιν προεγνωσμένου τινός· οἷον· Ὁ ἄνθρωπος ἧκε· δῆλον ὡς προεγνωσμένος τὶς ἧκεν· εἰ δέ τις λέγοι· Ἄνθρωπος ἧκεν· ἄδηλον, τίνα ἄνθρωπον λέγει.

Ἔτι δὲ χρώμεθα τοῖς Ἄρθροις καὶ ἐπὶ μερισμοῦ, ὅταν ἡγεῖται

Ε.Υ.Δ της ΚΕ.ΠΙ ΙΩΑΝΝΙΝΑ 2006

πτωτικόν τι ἀθροιστικόν, καὶ διαιρεῖται εἰς δύο, ἢ καὶ πλείω μέρη· τότε γὰρ προτίθεμεν τῶν Μὲν καὶ Δὲ συνδέσμων τὰ ἄρθρα. Καὶ ἐὰν μὲν τὸ ἄθροισμα πρὸς τὸ ῥῆμα φέρηται πλαγίως, πλαγίως ἐπάγονται καὶ τὰ ἄρθρα ὁμοιοπτώτως· οἷον· Ἐτόξευσαν ἀετοὺς διαπτάντας, τὸν μὲν ἀπ' ἀνατολῶν, τὸν δὲ ἀπὸ δυσμῶν. Ἐὰν δὲ ὀρθῶς λέγηται τὸ ἄθροισμα ὀρθῶς καὶ τὰ ἄρθρα, κοινοῦ ὄντος τοῦ ῥήματος καὶ τῷ ἀθροίσματι καὶ τοῖς μέρεσιν· οἷον· Ἀετοὶ διέπτησαν δύο, ὁ μὲν ἀπ' ἀνατολῶν, ὁ δὲ ἀπὸ δυσμῶν. Ἐὰν δὲ τὸ ῥῆμα ἤτοι κοινὸν ὂν ἐν τοῖς μέρεσι κέηται, ἢ ἴδιον ἑκάστῳ τῶν μερῶν ᾖ, τότε τὸ ἄθροισμα κατὰ γενικὴν λέγεται διαιρετικῶς, καὶ τὰ μέρη καθ' ἣν πτῶσιν ἀπαιτεῖ τὸ ῥῆμα· οἷον· Δυοῖν ἀετῶν, ὁ μὲν ἀπ' ἀνατολῶν ἔπτη, ὁ δ' ἀπὸ δυσμῶν· δυοῖν ἀετῶν ὁ μὲν ἀπέπτη, τὸν δὲ ἐτόξευσαν.

Σημ. Ἔστι δ' εὑρεῖν παρὰ τοῖς Ἀττικισταῖς πολλά, ἐν οἷς οὐ κατὰ γενικὴν διαιρετικῶς τὸ ἄθροισμα, ἀλλ' ὁμοιόπτωτον φέρεται τοῖς μέρεσι, καί τοι τοῦ ῥήματος ἰδίᾳ ἐν αὐτοῖς ὄντος, ἀλλ, οὐκ ἐν τῷ ἀθροίσματι· οἷον· πολέμιοι, οἱ μὲν ἐθαύμαζον τὰ γινόμενα, οἱ δὲ ἐβόων, οἱ δὲ συνεσκευάζοντο· ἀντὶ τῶν πολεμίων.

Τὰ δ' ἐπίθετα τοῖς οὐσιαστικοῖς, ἐὰν ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀποῦσα, ὅμως ἐπινοῆται, ἐνάρθρως συμφέρονται· οἷον· ὁ ἀγαθὸς Σωκράτης, ὁ Σωκράτης ὁ ἀγαθός· ὡς εἴρηται.

Πολλάκις τὰ Ἄρθρα καὶ μερῶν τοῦ λόγου, καὶ λόγου αὐτοῦ προτάττονται, περιορίζοντα τὸ εἶναι αὐτῶν, ὅτε καὶ Ὁρικὰ καλοῦνται. οἷον· ὁ Δέ, ἐστὶ Σύνδεσμος· ἡ Ἐγώ, Ἀντωνυμία· τὸ Τύπτω, Ῥῆμα· τό, Σωκράτης διαλέγεται, ἐστὶ λόγος· ἅτινα ὡς ἄκλιτα λαμβάνεται.

Σημ. Α. Τὰ κύρια ὀνόματα ἐνάρθρως μὲν λέγονται ὡρισμένα ὄντα· οἷον· ὁ Σωκράτης, αἱ Ἀθῆναι· ἀνάρθρως δὲ ὡς ἐπὶ τὸ πλεῖστον, ἐπιθετικοῦ ὅρου ἐπιφερομένου ἐνάρθρως· οἷον· Σωκράτης ὁ φιλόσοφος. Ἐν δὲ τῷ, Θουκυδίδης Ἀθηναῖος, οἴκοθεν τὸ ἐθνικὸν προσδιορίζον τὸ ὄνομα, οὐ χρήζει ἄρθρου.

Σημ. Β. Τὸ Πᾶς ἐν ταῖς ἀπαριθμήσεσι, τὴν ὅλην ποσότητα συγκεφαλαιοῦν, ἐνάρθρως λέγεται· οἷον· Ἀθηναῖοι εἷλον τριήρεις Φοινίκων, καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας· κεῖται δὲ ἐνταῦθα τὸ ἄρθρον ἀντὶ ἀναφορικοῦ, εἰς δύο ἀναλυόμενον λόγους· οἷον· πᾶσαι. ἃς διέφθειραν, ἦσαν ἐς διακοσίας.



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΗΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ. της Ε.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Σημ. Γ. Τινὰ τῶν τοπικῶν ἢ ἐθνικῶν ὀνομάτων ἐνάρθρως καὶ ἑνικῶς λεγόμενα, τὸ ὅλον ἔθνος, ἢ σύστημά τι δηλοῦσιν· οἷον· ἀλλαμὴν τόν γε Παίονα καὶ τὸν Ἰλλυριὸν, καὶ ἁπλῶς τούτους ἅπαντας ἡγεῖσθαι χρὴ αὐτονόμους ἥδιον ἂν καὶ ἐλευθέρους, ἢ δούλους εἶναι (Δημοσθ. Ὀλυνθ. Γ. 37.). Ὡσαύτως καὶ ἄλλα ἄττα τῶν οὐσιαστικῶν θηλυκῶν, συνεκδοχικῶς λαμβανομένων εἰς ἑνικὸν ἀριθμὸν, σύστημά τι πολλῶν ὑποδηλούντων προσώπων μετὰ τοῦ πράγματος· οἷον· ἡ ἀσπὶς, ἡ ἵππος· ἀντὶ, οἱ ἀσπισταὶ, οἱ ἱππόται, ἢ ἱππεῖς.

Σημ. Δ. Τίθεται ἔτι τὸ οὐδέτερον ἄρθρον ἑνικῶς ἢ πληθυντικῶς πρὸ τῆς γενικῆς τοῦ θηλυκοῦ οὐσιαστικοῦ κατὰ περίφρασιν· οἷον τὰ τῆς προνοίας, ἀντὶ ἡ πρόνοια. Ἢ ἐλλειπτικῶς, τὰ πράγματα τῆς προνοίας.

Σημ. Ε. Πρὸ τῆς γενικῆς τῶν κυρίων ὀνομάτων πατρὸς, ἢ μητρὸς, ἢ ἀνδρὸς, τίθεται το ἄρθρον ἐλλείψει τοῦ συσχετικοῦ, υἱὸς, θυγάτηρ, γυνὴ, καὶ τὰ τοιαῦτα· οἷον· Τίμων ὁ Ἐγκρατίδου· Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου· ἐκ τῆς τοῦ Οὐρίου (Ματθ. ά. 6.).

Σημ. ΣΤ. Τῶν Ἐπιῤῥημάτων τινὰ συντασσόμενα ἄρθροις, ἀντὶ ἐπιθέτων λαμβάνονται· οἷον· οἱ πάλαι σοφοί.

## Τοῦ Ῥήματος.

Τῶν Ῥημάτων τὰ μὲν εἰσὶ Τέλεια, ὅσα καθ' ἑαυτὰ αὐτάρκη εἰσὶ πρὸς ἐντελῆ λόγον χωρίς τινος πτώσεως ἐκ τρίτου· οἷον· ζῶ, ὑγιαίνω.

Τὰ δὲ Ἀτελῆ, ὅσα ἀπαιτοῦσι πλαγίαν τινὰ πτῶσιν πρὸς ἐντέλειαν· οἷον· διδάσκω σὲ, βοηθῶ σοι, ἀκούω σοῦ.

Πάντα δὲ ἔχουσιν ἐκ πρώτου ὀνομαστικὴν ἤτοι λεγομένην, ἢ νοουμένην, ἐπὶ πάσης ἐγκλίσεως, καὶ ἀριθμοῦ, καὶ προσώπου, καὶ χρόνου· πλὴν τῶν ἀπαρεμφάτων· ταῦτα γὰρ αἰτιατικὴν περιέχουσιν.

### Περὶ Συντάξεως τῶν Ῥημάτων.

Φέρονται δὲ ἐν τῷ λόγῳ τὰ Ῥήματα πενταχῶς.

ΕΡΓΑΣΤΗΡΙΟ ΜΕΛΕΤΗΣ ΚΑΙ ΔΙΑΣΩΣΗΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006